ὑπερβολῶν. οὔτε γὰρ ὡς ἐν χειμῶνι πλεονεκτεῖ τὸ ψυχρὸν
527 | ἐν αὐτῷ τοῦ θερμοῦ οὔθ' ὡς ἐν θέρει πλεονεκτεῖται. κατὰ ταὐτὰ δὲ καὶ ξηρότητός τε καὶ ὑγρότητος ἰσομοιρία τίς ἐστιν ἐν αὐτῷ μήθ' ὡς ἐν θέρει κρατοῦντος τοῦ ξηροῦ μήθ' ὡς ἐν χειμῶνι τοῦ ὑγροῦ καὶ διὰ τοῦτ' ὀρθῶς εἴρηται πρὸς Ἱπποκράτους· 'ἦρ δὲ ὑγιεινότατον καὶ ἥκιστα θανατῶδες'.

Ἀλλὰ καὶ τὸ φθινόπωρον ἧττον μὲν ἢ τὸ θέρος θερμόν, ἧττον δ' ἢ ὁ χειμὼν ψυχρόν. ὥστε ταύτῃ μὲν οὔτε θερμὸν ἁπλῶς οὔτε ψυχρόν, ἀμφότερα γάρ ἐστι, καὶ οὐδέτερον ἄκρως. ἕτερον δέ τι πρόσεστιν αὐτῷ κακόν, ὅπερ ἐπεσημήνατο καὶ Ἱπποκράτης ἐν Ἀφορισμοῖς εἰπών· 'ὁκόταν τῆς αὐτῆς ἡμέρης ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος ποιέῃ, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι χρή'. καὶ τοῦτό γ' ἐστὶ τὸ μάλιστα νοσῶδες ἐργαζόμενον τὸ φθινόπωρον, ἡ ἀνωμαλία τῆς κράσεως. οὐκ ὀρθῶς οὖν εἴρηται ψυχρὸν καὶ ξηρόν, οὐ γάρ ἐστι ψυχρόν αὐτὸ καθ' αὑτὸ θεωρούμενον,
528 ὥσπερ ὁ χειμών, ἀλλὰ τῷ θέρει παραβαλ|λόμενον ἐκείνου ψυχρότερον. οὐ μὴν οὐδ' ὁμαλῶς εὔκρατον, ὡς τὸ ἔαρ, ἀλλ' ἐν τούτῳ δὴ καὶ μάλιστα διενήνοχεν ἐκείνης τῆς ὥρας, ὅτι τὴν εὐκρασίαν τε καὶ τὴν ὁμαλότητα διὰ παντὸς ἴσην οὐ κέκτηται. πολὺ γὰρ θερμότερόν ἐστι κατὰ τὴν μεσημβρίαν ἢ κατὰ τὴν ἕω τε καὶ τὴν ἑσπέραν. ὑγρότητος δὲ καὶ ξηρότητος οὐκ ἀκριβῶς μέν ἐστι μέσον, ὡς τὸ ἔαρ, ἀλλ' ἐπὶ τὸ ξηρότερον ῥέπει. λείπεται δὲ κἂν τούτῳ τοῦ θέρους, οὐ μὴν τοσοῦτόν γ' ὅσον θερμότητι. δῆλον οὖν, ὡς οὐδὲ τὸ φθινόπωρον ἁπλῶς οὕτω ῥητέον, ὡς ἐκεῖνοι λέγουσι,

---

2 πλεονεκτεῖται] πλεονεκτεῖ τὸ ξηρὸν τοῦ ὑγροῦ MV ‖ 3 ὑγρότητος καὶ ξηρότητος L ‖ 5 καὶ LMV om. O ‖ 6 Hipp. Aphor. III 9 (t. IV 488 L.) ‖ ἔαρ M ‖ 11 ἕτερον] cf. Orib. IX 2, 5 ‖ τι om. L ‖ 12 Hipp. Aphor. III 4 (t. IV 486 L.) Galen. XVII 2, 568 ‖ 13 ποιέῃ OV ποιέει L ποιεῖ M ‖ 14 χρή] δεῖ L ‖ γ' M γε LV om. O ‖ 20 ἐν τούτῳ δὴ καὶ μάλιστα LMV ὅτι μάλιστα τούτῳ O ‖ 22 πολὺ] cf. Orib. IX 2, 5 ‖ τὸ add. ante κατὰ L bis ‖ 23 ὑγρότητος δ. κ. ξηρότητος L ὑγρότητι δ. κ. ξηρότητι O ὑγρότατον καὶ (δέ γε καὶ V) ξηρότατον MV ‖ 24 οὐκ ἀκρ. μέν ἐ. μ. ὡς τ. ἔ. LM μέσον οὐκ ἔστιν ἀκρ. ὡς τ. ἔ. O